A

## ΣΤΡΟΦΗ.

Χο. Δεῖ δέ σε παντοίας πλέκειν
Εἰς ἀπόφυξιν παλάμας.
Τὴν γὰρ ἐμὴν ὀργὴν πεπά-
Ναι χαλεπὸν, μὴ πρὸς ἐμοῦ λέγοντι.
Πρὸς ταῦτα μύλην ἀγαθὴν ὥρα ζητεῖν σοι καὶ νεόκοπτον.
Ἢν μή τι λέγῃς, ἥτις δυνατὴ τὸν ἐμὸν θυμὸν κατερεῖξαι.
Βδε. Χαλεπὸν μὲν καὶ δεινῆς γνώμης καὶ μείζονος ἢ 'πὶ τρυγῳδοῖς.
Ἰάσασθαι νόσον ἀρχαίαν ἐν τῇ πόλει ἐντετοκυῖαν.
Ἀτὰρ ὦ πάτερ ἡμέτερε Κρονίδη. Φι. παῦσαι καὶ μὴ πατέριζε.
Εἰ μὴ γὰρ ὅπως δουλεύω 'γὼ τουτὶ ταχέως με διδάξῃς,
Οὐκ ἔστιν ὅπως οὐχὶ τεθνήσει, κἂν χρῇ σπλάγχνων μ' ἀπέχεσθαι.
Βδε. Ἀκρόασαί νυν ὦ παππίδιον χαλάσας ὀλίγον τὸ μέτωπον.
Καὶ πρῶτον μὲν λόγισαι φαύλως μὴ ψήφοις, ἀλλ' ἀπὸ χειρὸς,
Τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων συλλήβδην τὸν προσιόντα.
Κἄξω τούτου τὰ τέλη χωρὶς, καὶ τὰς πολλὰς ἑκατοστάς.
Πρυτανεῖα. μέταλλ'. ἀγοράς. λιμένας. μισθούς. καὶ δημιόπρατα.

## STROPHA.

CH. AT tibi nitendum est modis
Omnibus, hinc effugere,
Nam facilem & mitem esse me
Non pote, de me malè sentienti.
B Nunc quod superest tibi quærenda est bona cos, & cæsa recenter
Nisi quid dicas animum mihi quod penetrare & scindere possit.
BD. Durus labor est, altum ingenium, & maius quàm Comica sit vis
Morbum veterem medicare, & adhærentem radicitùs vrbi.
Verùm Pater ô noster Saturnice. PH. mitte vocare parentem,
C Etenim nisi me contrà doceas & seruum ostenderis esse,
Tibi mors certa est, vel licet interdicar lustralibus extis.
BD. Audi ergo ô Pappule, deq; supercilio iam pauca remitte.
Ac primùm rationem facili manu ini non calce, recensens
D Annua quæ nobis ex omni procedunt vrbe tributa
Sepos ita dein vectigalia, tum vel Centesima multa,
Prytanea, metalla, & fora, portus, merces, quæq; auctio fiunt

Σχόλια. Πεπάναι.] μαλάξαι. ὑποχαλάσαι. Μὴ πρὸς ἐμοῦ λέγοντι.] ἀντὶ τοῦ μὴ ὑπὲρ ἐμοῦ. μὴ ἀρέσκοντά μοι λέγοντι. πάντως γὰρ κατὰ τοῦ δικάζειν ἔμελλε λέγειν. Μύλην ἀγαθήν.] νεοκατασκεύαστον μύλην. καὶ Ὅμηρος θηλικῶς λέγει. ἣ ῥα μύλην στῆσαι. Κατερεῖξαι.] καταθραῦσαι. ἀφ' οὗ καὶ τὸ ἐρεικτὰ ἀξιοῦσί τινες ἀπὸ τῶν ἐρεικομένων ὀσπρείων. ὅθεν καὶ τὸ, ἐρεικόμενος περὶ δουρί. εἴρηται δ' ἐν τοῖς Βατράχοις. Δεινῆς γνώμης.] ἀντὶ τοῦ μείζονος ἢ κατὰ κωμῳδίαν ἐστὶ τὸ ἰᾶσθαι νόσον πεπαλαιωμένην ἐν τῇ πόλει. λέγει δὲ τὸ φιλόδικον. ἐντετοκυῖαν δὲ ἐγγεννηθεῖσαν. ἢ ἐμφωλεύουσαν. Μὴ πατέριζε.] πατέρα κάλει. ἔμελλε δὲ εἰπεῖν. σοὶ πάντα δυνατά ἐστιν ὦ Ζεῦ, καὶ διέκοψεν ὁ Φιλοκλέων. Κἂν χρῇ.] κἂν ὡς ἀνδροφόνος λογισθῶ καὶ τῶν θυσιῶν μὴ μεταλάβω. κατὰ τὸ ἔθος δὲ, ὅτι οἱ ἀνδροφόνοι οὐ μεταλαμβάνουσι θυσιῶν.

BISETVS. Σπλάγχνων ἀπέχεσθαι.] Ὅτι δὲ οἱ ἀνδροφόνοι τῶν θυσιῶν ἀπείργοντο, δῆλον ἐκ τῶν Σοφοκλέους ἰάμβων, οὓς ὁ Βασιλεὺς Οἴδιπος προφέρει,

Ἀπαυδῶ, φησὶ, τοῦτον τὸν ἄνδρα τὸν αὐτόχειρα
Μήτ' εἰσδέχεσθαι, μήτε προσφωνεῖν τινα,
Μήτ' ἐν θεῶν εὐχαῖσι, μήτε θύμασι
Κοινὸν ποιεῖσθαι. μήτε χέρνιβας νέμειν,
Ὠθεῖν δ' ἀπ' οἴκων πάντας ὡς μιάσματος
Τοῦδ' ἡμῖν ὄντος. καὶ τὰ ἑξῆς.

CHRIST. Πεπάναι.] Id est, mollire & remittere, sic Hippocrates dixit, τὰ μὴ πέπονα, dura & cruda. Et Homerus eodem sensu lib. j. Iliad. dixit
E χόλον καταπέψει, vt hic ὀργὴν πεπάναι. At πρὸς ἐμοῦ est pro ὑπὲρ ἐμοῦ, vel ἐμοὶ ἀρέσκοντα, nam Bdelycleon dicturus est contra iudices. Quod autem ait κατερεῖξαι, propriè est quando agit de mola cuius officium frangere est, vel potiùs frendere, vnde dentes molares quia frendunt, & porculi nefrendes qui frendere nequeunt, & faba fresa ἐρεγμὸς, & τὰ ἐρεικτὰ, legumina. Hom. in Iliad. dixit ἤρεικε κόρυς; id est, ἐσχίσθη, vt & illud, ἐρεικόμενος περὶ δουρί. Ἢ 'πὶ τρυγῳδοῖς.] Maius, inquit, est opus
F & labor quàm ferre possit Comœdia sanare morbum vrbis inueteratum & iamdudum in animis plebis nidulantem, hoc enim est ἐντετοκυῖαν νόσον. Cæterùm τρυγῳδεῖν esse κωμῳδεῖν testatur etiam Hesychius quia scilicet ante inuentas personas actores fecibus ora perungebantur. Plautus Pœnulo contrà dixit, Indoctior sum quàm in Tragœdia Comici. Rectè autem vocat morbum insa-
G niam illam iudicandi. Sanè τραγῳδοὺς etiam esse χορευτὰς & κωμῳδοὺς idem censet Grammaticus. Σπλάγχνων μ' ἀπέχεσθαι.] Exta hic & viscera pro sacrificiis vsurpat quibus excludebantur piaculares & homicidæ, vt putem exsecrandum dictum quasi è sacris tollendum, qui etiam extorris dicitur. Erat autem hoc vetustum genus excommuni-